682 La morte attende tutti indistintamente **

Particolarità sintattiche: part. congiunto, sostantivato; periodo ipotetico.

Ἱπποκράτης[1] πολλὰς νόσους ἰασάμενος αὐτὸς νοσήσας ἀπέθανεν. Οἱ Χαλδαῖοι[2] πολλῶν θανάτους προηγόρευσαν, εἶτα καὶ αὐτοὺς τὸ πεπρωμένον κατέλαβεν. Ἀλέξανδρος[3] καὶ Πομπήιος[4] καὶ Γάιος Καῖσαρ[5], ὅλας πόλεις ἄρδην τοσαυτάκις ἀνελόντες καὶ ἐν παρατάξει πολλὰς μυριάδας ἱππέων καὶ πεζῶν κατακόψαντες, καί αὐτοί ποτε ἐξῆλθον τοῦ βίου. Ἡράκλειτος[6] περὶ τῆς τοῦ κόσμου ἐκπυρώσεως τοσαῦτα φυσιολογήσας, ὕδατος τὰ ἐντὸς πληρωθείς, βολβίτῳ κατακεχρισμένος ἀπέθανεν. Δημόκριτον[7] δὲ οἱ φθεῖρες, Σωκράτην δὲ ἄλλοι φθεῖρες ἀπέκτειναν. Τί ταῦτα; Ἐνέβης, ἔπλευσας, κατήχθης· ἔκβηθι. Εἰ μὲν ἐφ' ἕτερον βίον, οὐδὲν θεῶν κενὸν οὐδὲ ἐκεῖ· εἰ δὲ ἐν ἀναισθησίᾳ, παύσῃ πόνων καὶ ἡδονῶν ἀνεχόμενος καὶ λατρεύων τοσούτῳ χείρονι τῷ ἀγγείῳ ὅσῳ περίεστι τὸ ὑπηρετοῦν· τὸ μὲν γὰρ νοῦς καὶ δαίμων, τὸ δὲ γῆ καὶ λύθρος.

MARCO AURELIO

1 Ἱπποκράτης: Ippocrate, il celebre medico vissuto nel V sec. a.C.
2 Οἱ Χαλδαῖοι: «i Caldei» (popolo che abitava nella Mesopotamia) avevano fama di essere abili nel trarre oroscopi.
3 Ἀλέξανδρος : STO ➜ Alessandro Magno.
4 Πομπήιος: STO ➜ Pompeo.
5 Γάιος Καῖσαρ: STO ➜ Cesare.
6 Ἡράκλειτος: STO ➜ Eraclito.
7 Δημόκριτον: STO ➜ Democrito.

Traduzione: .....